σθαι καὶ ἐν ὀλιγαρχίᾳ καὶ ἐν δημοκρατίᾳ, ὁποῖοί τινές
30 εἰσι πολῖται· τούτων δ' ἄξιον θαυμάζειν, ὅ τι ἂν ἐποίη-
σαν, εἴ τις αὐτοὺς εἴασε τῶν τριάκοντα γενέσθαι, οἳ νῦν
δημοκρατίας οὔσης ταὐτὰ ἐκείνοις πράττουσι, καὶ ταχέως
μὲν ἐκ πενήτων πλούσιοι γεγένηνται, πολλὰς δὲ ἀρχὰς
ἄρχοντες οὐδεμιᾶς εὐθύνην διδόασιν, ἀλλ' ἀντὶ μὲν ὁμο-
νοίας ὑποψίαν πρὸς ἀλλήλους πεποιήκασιν, ἀντὶ δὲ εἰρή-
νης πόλεμον κατηγγέλκασι, διὰ τούτους δὲ ἄπιστοι τοῖς
31 Ἕλλησι γεγενήμεθα. καὶ τοσούτων κακῶν καὶ ἑτέρων
πολλῶν ὄντες αἴτιοι, καὶ οὐδὲν διαφέροντες τῶν τριά-
κοντα πλὴν ὅτι ἐκεῖνοι μὲν ὀλιγαρχίας οὔσης ἐπεθύμουν
ὧνπερ οὗτοι, οὗτοι δὲ καὶ δημοκρατίας τῶν αὐτῶν ὧν-
περ ἐκεῖνοι, ὅμως οἴονται χρῆναι οὕτως ῥαδίως ὃν ἂν
βούλωνται κακῶς ποιεῖν, ὥσπερ τῶν μὲν ἄλλων ἀδικούν-
32 των, ἄριστοι δὲ ἄνδρες αὐτοὶ γεγενημένοι. (καὶ τούτων
μὲν οὐκ ἄξιον θαυμάζειν, ὑμῶν δέ, ὅτι οἴεσθε μὲν δη-
μοκρατίαν εἶναι, γίγνεται δὲ ὅ τι ἂν οὗτοι βούλωνται,
καὶ δίκην διδόασιν οὐχ οἱ τὸ ὑμέτερον πλῆθος ἀδικοῦν-
τες, ἀλλ' οἱ τὰ σφέτερα αὐτῶν μὴ διδόντες). καὶ δέξαιντ'
ἂν μικρὰν εἶναι τὴν πόλιν μᾶλλον ἢ δι' ἄλλους μεγάλην
33 καὶ ἐλευθέραν, ἡγούμενοι νῦν μὲν διὰ τοὺς ἐκ Πειραιῶς
κινδύνους αὑτοῖς ἐξεῖναι ποιεῖν ὅ τι ἂν βούλωνται, ἐὰν
δ' ὕστερον ὑμῖν δι' ἑτέρους σωτήρια γένηται, τούτους
μὲν πεπαύσεσθαι, ἐκείνους δὲ μεῖζον δυνήσεσθαι· ὥστε
τὸ αὐτὸ πάντες ἐμποδών εἰσιν, ἐάν τι δι' ἄλλων ἀγαθὸν
34 ὑμῖν φαίνηται. τοῦτο μὲν οὖν οὐ χαλεπὸν τῷ βουλομένῳ
κατανοῆσαι· αὐτοί τε γὰρ οὐκ ἐπιθυμοῦσι λανθάνειν,
ἀλλ' αἰσχύνονται μὴ δοκοῦντες εἶναι πονηροί, ὑμεῖς τε
τὰ μὲν αὐτοὶ ὁρᾶτε τὰ δ' ἑτέρων πολλῶν ἀκούετε. ἡμεῖς
δέ, ὦ ἄνδρες δικασταί, δίκαιον μὲν ἡγούμεθ' εἶναι πρὸς
πάντας ὑμᾶς τοὺς πολίτας ταῖς συνθήκαις καὶ τοῖς ὅρ-

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415481120/216 UNIVERSITÄT LEIPZIG